ὄρπηξ Δαλασσηνῶν δὲ τῆς ῥιζουχίας
ὡς νυμφίον σέβων σε νυμφικῷ πέπλῳ
κλίνῃ μὲν ὑπνώσαντα λαξευτοῦ τάφου,
τῇ δ' ὀρθρινῇ σου τῆς ταφῆς ἀναστάσει
νυκτὸς σκιὰν λύσαντα τοῦ γραπτοῦ νόμου

. . . . . . . . . . . . . .

βασιλικῇ τιμῶ σε πιστῶς πορφύρᾳ

. . . . . . . . . . . . . .

Τέλ. ἐν ἡμέρᾳ δὲ τῇ τελευταίᾳ, λόγε,
ἁμαρτιῶν μου τὸν βαθὺν λύσας γνόφον
ἀνέσπερον φῶς ἐν τρυφῇ βλέπειν δίδου.

60 (φ. 22β). «Ἐπὶ τῇ εἰκόνι τῆς ἀρετῆς ἀνδρείας».

Ἔχει ὅλον ὧδε·

Ψυχὴν ἔγωγε κρατύνω καὶ σαρκίον
πρὸς τὰς ὁρατὰς καὶ νοουμένας μάχας.

61 (φ. 22β). «Ἐπὶ τῷ κατὰ Θεσσαλονίκην νεουργηθέντι οἴκῳ τοῦ Σικουντηνοῦ Λέοντος, ἔχοντι διαφόρους παλαιὰς ἱστορίας καὶ τὸν αὐτοκράτορα κῦρ Μανουὴλ τὸν Κομνηνόν».

Ἔχει ὅλον ὧδε·

Καινὸν τὸ βάθρον ὧδε τοῦ δόμου, ξένε,
ἐκ τῶν ἄνω στήριγμα τοῖς κάτω νέμον·
τῶν ἀρετῶν γὰρ ἐπερείδεται πλέον
τοῖς ἐντὸς ἐκτὸς εἰκονισμένοις τύποις,
ἃς καὶ καθ' αὐτὰς ζωγραφῶν ὁ τεχνίτης
ἔργοις βεβαιοῖ σχημάτων τὸ ποικίλον,
ἄνδρας γεραροὺς δεκτικοὺς τούτων γράφων,
Μωσῆν θεόπτην ἐξ ἀληθοῦς ἀγάπης
τῷ συγγενεῖ θέλοντα συμπάσχειν ὄχλῳ,
Αἰγύπτιον κτείνοντα τῆς εὐανδρίας,
πράως δὲ χορτάζοντα γογγυστῶν στόμα,
καὶ τὰς Ἰησοῦ τοῦ Ναυῆ στρατηγίας,
ὃς Ἱεριχὼ συγκαθαιρεῖ τὴν τόσην,
φρονήσεως σύζυγον ἀνδρείαν φέρων·

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

Τοῖς δ' ἀρχαϊκοῖς καὶ τα νῦν συγγεγράφει[1]
τοῖς στρατιώταις οὐρανῶν βασιλέως
συνιστορῶν ἄνακτα γῆς στεφηφόρον,
τὸν πορφυραυγῆ τῆς νέας Ῥώμης στύλον
φ. 23α ‖ Κομνηνοφυῆ Μανουὴλ ἐθνοκτόνον,
ἔμψυχον οἶκον ἀρετῶν ὅλων ἕνα,
ὧν χάριν ἀσύγκριτον αὐχεῖ τὸ κράτος.
Εὖ τῶν χαρίτων, [εὖ]γε τοῦ κάλλους δόμε,
εὖ τῶν θεμέθλων. Ἀρραγὴς τοίνυν μένε
καὶ σὸν νεουργὸν ἐν μακροῖς τέρπε χρόνοις
Σικουντηνὸν Λέοντα σὺν τοῖς γνησίοις.

62 (φ. 23α). «Ἐπὶ ἐγχειρίῳ γεγονότι παρὰ τοῦ μητροπολίτου Φιλίππων κυροῦ Θεοδώρου, ἰαθέντος ἀπὸ νόσου δυσιάτου».

Ἔχει ὅλον ὧδε·

Ἐκ σουδαρίων, ἐκ σκιᾶς πρώην μόνης
νόσους λύων χάριτι πνεύματος, Πέτρε,
λύσαις ἐπισκήψασαν ἀγρίαν νόσον
Θεοδώρου νῦν τοῦ Φιλίππων ποιμένος.
Εἰς τοῦτο σοι δὲ συνδραμεῖται καὶ Παῦλος
ὡς ἐν Φιλίπποις ἐνδιατρίψας πάλαι
καὶ τοὺς ἐν αὐτοῖς εἰςαεὶ σώζειν θέλων.
Σκιᾶς[2] γὰρ ἀμφοῖν ἐν πέπλῳ διαγράφω
χρυσαργύροις χρώμασιν εἰκονισμένας.
Τέλος ὑπανοίξατε τῆς Ἐδὲμ πύλας.

63 (φ. 23α). «Ἐπὶ ἐγχειρίῳ τοῦ κυρίου καὶ θεοῦ ἡμῶν Ἰησοῦ Χριστοῦ γεγονότι παρὰ τοῦ Δούκα κυροῦ Ἰωάννου τοῦ υἱοῦ τοῦ καίσαρος ἐκείνου κυροῦ Νικηφόρου τοῦ Βρυεννίου».

Ἔχει ὅλον ὧδε·

Ἰχθὺν ἀγρεύσας ὡς ἐπετράπη Πέτρος
χρυσοῦν στατῆρα τοῦ στόματος ἐξάγει,
διπλοῦν δὲ τῷ καίσαρι τὸν φόρον φέρει,

[1] συνεγράφει (γ supra).
[2] Τὸ πρῶτον εἶχε τονισθῇ σκιὰς

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΣΤΑΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

δοὺς ἀνθ' ἑαυτοῦ τόνδε καὶ σοῦ, παντάναξ.
Ἅδου δ' ἐγὼ στόματος ἀφηρπασμένος,
νόσων δὲ ῥωσθεὶς βαθέων ἐξ ὑδάτων
καὶ τὴν ἀμοιβὴν ὡς φόρον σοι προσφέρων,
κατάργυρόν[1] σου πρὶν τύπον χρυσῷ στέφω,
Νικηφόρου καίσαρος εὐτυχοῦς γόνος
πορφυροφυοῦς ἐξ Ἄννης Ἰωάννης.
Σὺ δ' εὐμενής μοι καὶ κριτὴς τέλος γίνου.

64 (φ. 23α). «Εἰς εἰκόνα τῆς ὑπεραγίας Θεοτόκου ἀνακαινισθεῖσαν παρὰ τοῦ Λιπαρίτου Βάρδα».

Ἔχει ὅλον ὧδε·

Ἡ μὲν κιβωτὸς τῆς σκιᾶς πρίν, Παρθένε,
ἣν ἐξ ἀσήπτων τεκτονηθεῖσα ξύλων
τὴν ἄφθορον κόρην γαρ εἰκόνιζέ σε·
πλὴν ἀλλὰ καὶ σοῦ τῆς κιβωτοῦ τὸν τύπον
νικᾷ χρόνου ῥέουσα καὶ φθείρει φύσις.
Βάρδας δ' ἐγὼ σὸς οἰκέτης Λιπαρίτης
αὖθις νεουργῶ πίστεως χειρουργίᾳ.
Σὺ δ' ἀλλ' ἐμὴν νεύσασαν ἐκ χρόνου φρένα,
πρὸς πταισμάτων ῥυτίδα καινούργει πάλιν.
Σὺ ῥάβδος εἶ, φύεις δὲ καὶ ῥίζης δίχα·
κἀμοὶ δὸς ἀνθεῖν εἰς καλοῦ πράξεις βίου
καὶ τὴν Ἐδὲμ σχεῖν εἰς μονὴν θείαν χλόην.

65 (φ. 23α). «Εἰς τὴν εἰκόνα τοῦ ἁγίου Δημητρίου ἥτις ἵστατο ἐν τῷ ναῷ τῷ ἐν τῷ οἴκῳ τοῦ πρώην ἐπὶ τοῦ κανικλείου, τοῦ Στυπειώτου Θεοδώρου, ὅτε ἐβούλετο οὗτος μεταθεῖναι ταύτην ἀπὸ τοῦ χθαμαλωτέρου εἰς τὸ ὑψηλότερον, ὥστε φυλαχθῆναι καὶ τὸ κάτω θυσιαστήριον, καὶ ἕτερον ἄνωθεν γενέσθαι».

Ἔχει ὅλον ὧδε·

Λόγχῃ πόθου σοῦ καρδίαν τετρωμένος
καὶ φλεγμονὴν ἔρωτος ἐνθέου φέρων

[1] Διόρθωσις διὰ διαξέσεως τῆς τὸ πρῶτον γραφείσης νῦν ἀδιαγνώστου λέξεως. Ἴσως καὶ ἄργυρον.

φ. 23β ‖ ἔσπευσα μάρτυς τῆς κακῆς ταύτης νόσου
φάρμακον εὑρεῖν τὸν γλυκὺν παῦον πόνον
καί μοι δοκοῦν εὕρη[κα]· τίς δ' ἦν ὁ τρόπος;
Βραχὺν μὲν ὄντα τὸν νεὼν προσευρῦναι,
διπλοῦν δὲ τοῦτον ἀνθ' ἁπλοῦ σοι καινίσαι,
ὡς διπλασιάζοιτο σῶν ὕμνων χάρις.
ὡς ἐν κύκλῳ μὲν οὐρανοῦ, πρὸς τοῖς ἄνω,
ὡς ἐν πλάτει δὲ γῆς, ὅδε, πρὸς τοῖς κάτω·
πλὴν ἀλλὰ πολλοῖς ἐκπλαγεὶς τεραστίοις
ὧν των μὲ ν ὡς μάρτυρας ὀφθαλμοὺς ἔχω,
τῶν δ' οὖν ὀνείρους, ἂν ὀνείρους χρὴ λέγειν
τὰς ὕπαρ ὥςπερ ἐμφανεῖς ὀπτασίας,
καὶ γνοὺς τὰ συνδόξαντα καὶ κριθέντα μοι
πέρας λαβεῖν ἔμπρακτον ἀβούλητά σοι
[ὑπ]εῖξα[1] πιστῶς· τί γὰρ ἀνταίρειν ἔδει;
καὶ σὴν πάλιν ἥδρασα πιστὴν εἰκόνα
ἐνταῦθα, τὸν πρὶν μὴ παρεκκλίνων τόπον.
Ὡς ἂν δὲ τοῦτο μὴ βυθὸς λήθης λάβῃ,
ταυτὸν δέ τις δράσειε τῶν ὀψιγόνων,
κἀντεῦθεν ἴσοις τοῖς φοβήτροις ἐντύχῃ
κοσμῶν τύπον σόν, ταῦτα πρὸς μνήμην γράφω.
Θεόδωρος γένος μὲν ὢν Στυπειώτης,
τὴν ἀξίαν δὲ νῦν κανικλείου φέρων
αἰτῶν σε, Δημήτριε, πλημμύρα μύρου,
τρίβον βίου μὲν ὡς ἀπροσκόπτως τρέχω,
ἐχθροῖς ὁρατοῖς συμπατῶν νοουμένους,
εὕρω δέ σε στρέφοντα ῥομφαίαν τέλος
φρικτὴν φλογίνην ὥςπερ ὑπαιδουμένην
τῶν μαρτυρικῶν τοὺς τύπους λογχευμάτων,
ὡς ἂν παρέλθω τὴν Ἐδὲμ χαίρων θύραν.

66 (φ. 23β) «Εἰς τὴν ἁγίαν Βαρβάραν».

Διάφορα ἐπιγράμματα εἰς τὴν αὐτήν, ἔχοντα ὅλα ὧδε·

Τὸν τεκνοφόντην ὡς δοκεῖς σέβων Κρόνον

[1] Τὸ ὑπ τοῦ ὑπεῖξα λείπει, ἀφεθέντος κενοῦ χώρου ἐν τῷ κώδικι.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

Ε.Υ.Δ.Τ.τ.Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

κτείνεις ἀφιλόστοργος παῖδα σήν, πάτερ.
Ὁ δ' οὖν κεραυνὸς ὅς βαλών σε συμφλέγει
οὐ τοῦ Διὸς μέν ἐστι τοῦ πατροκτόνου·
μῦθοι γὰρ οὗτοι· τοῦ θεοῦ δὲ Βαρβάρας,
ὅς καὶ κεραυνοὺς δεικνύει[1] πατροκτόνους.

Πατρὸς τεκνοσφαγοῦντος, οὐ πατρὸς τάχα
πυρὸς ποταμὸς τῆς γεέννης οὐ στέγει·
σπινθῆρα δ' αὐτοῦ μικρὸν ἐκπυρηνίσας,
κεραυνοποιεῖ τοῖς δι' ἀέρος δρόμοις·
φλόγα δὲ βαλών, τὴν κρίσιν γὰρ προφθάνει,
τὴν ἔκτοτε φλόγωσιν οὐκ ἀρκεῖν κρίνων.

Ναὶ καὶ σὺ τέκνον ἦσθα, μισόπαις πάτερ,
τῶν πρὶν χεόντων αἷμα τῶν θυγατέρων,
φονοκτονούντων γῆν τοῖς ἀθέσμως πρακτέοις
Τὴν παῖδα καὶ γὰρ κτιννύεις ὡς γοῦν τότε,
καὶ νῦν ἀνήφθη πῦρ θεοῦ· τοίνυν φλέγου,
μὴ Βαρβάρας γῆ σῶμα καὶ τὸ σὸν λάβοι.

Τιμᾶν τεκόντας, μὴ θεοῦ δὲ προκρίνειν
Χριστοῦ νόμος· τοῦτον δὲ πληροῖ Βαρβάρα·
παιδοκτονεῖν δὲ τίς σε διδάσκει, πάτερ,
ἢ Σατὰν αὐτὸς ὁ σπορεὺς τῆς κακίας
ὡς ἀστραπὴν πεσόντα Χριστὸς ὃν βλέπει,
ὅς καὶ Κάϊν δείκνυσιν ἀδελφοκτόνον;
Ὁ γοῦν κεραυνὸς σὲ πρὸς αὐτὸν πεμπέτω.

Ἄργυρος ἡ παῖς ἐκ πατρὸς μολιβδίνου·
εἴδωλα λοιπὸν ἄργυρος καὶ χρυσίον,
ὥς φησι Δαυὶδ[2], ἔργα χειρῶν οὐ σέβει
Κἂν Βαρβάραν γοῦν ἐκπυροῖ φῶς βασάνων
ἀλλ' ἐκκαθαίρει, μὴ τὸ πῦρ ὕλην λάβῃ,
πρηστὴρ δὲ τὸν μόλιβδον ἐξ ὕψους φλέγει.

[1] δεικνῦει
[2] δαδ'



Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

67 (φ. 24α) «Ἀπὸ τῶν τοῦ Ὀππιανοῦ Ἰξευτικῶν».

Ἀρχ. Οἱ ἀετοὶ πλεῖστον ὑπερτεροῦσιν τῶν ὀρνέων ὡς καὶ τοῖς τοῦ Διὸς σκήπτροις ἄγχι τῶν κεραυνῶν ἐπικαθῆσθαι πιστεύεσθαι.

Ἕπεται ἐν φ. 27β «Λόγος δεύτερος». Ἀρχ. Λεκτέον δὲ καὶ περὶ τῶν ἀμφιβίων ὀρνέων ὅσα τῇ θαλάσσῃ χαίρουσι. Ἐν φ. 30β «Λόγος τρίτος». Ἀρχ. Τῶν δὲ ἑξῆς ἀκούσας γίνωσκε, κράτιστε βασιλεῦ, ὡς οὐ μόνης τῆς γῆς καὶ τῆς θαλάσσης κατατολμῶσιν οἱ ἄνθρωποι.

Εὕρηται ἐκδεδομένη ἡ περίληψις αὕτη παρὰ τῷ *Lehrs* Poetae bucolici et didactici ἐκδ. *Didot*. Παρισίοις. 1846 σ. 107 κ. ἑ.

68 (φ. 33β). «Εἰς τραπεζόφορον».

Ἔχει ὅλον ὧδε·

Αὕτη μὲν ἡ τράπεζα τυποῖ καὶ φάτνην
ἐν ᾗ θεὸς νήπιος ὀφθεὶς ἐκλίθη
καὶ λατομητὸν παρὰ τῷ κήπῳ τάφον
ἐν ᾧ νεκρὸς ζῶν Χριστὸς ἐγκατεκρύβη.
Ταύτῃ δὲ τοῦτο[1] πέπλον εἰς σκέπην φέρω
πορφυροφυὴς Μανουὴλ μέγας ἄναξ·
ὡς μὲν φάτνην, ἔοικε κοσμεῖν σπαργάνοις,
ὡς πρὸς δὲ τάφον συνελιγμῷ σινδόνος.
Σὺ δ' ἀλλ' ὁ τεχθεὶς καὶ τυθεὶς τὲ καὶ θύσας
τοῦτον σκιάζων σοῖς μεταφρένοις δίδου
συσχεῖν ὅλην γῆν τοῦ κράτους τῷ σπαρτίῳ.
Ἐπὰν δὲ ταύτην ἐν βαθεῖ γήρᾳ λίποι
ἄνακτι βλαστῷ πορφύρας Ἀλεξίῳ
τῆς σῆς τραπέζης προςλαβοῦ δαιτυμόνα[2].

69 (φ. 33β). «Εἰς δίσκον νεουργηθέντα μετὰ τὸ κλασθῆναι καὶ θραυσθῆναι».

Ἔχει ὅλον ὧδε·

Ὁ μὲν προδοὺς ἔκλεψε σήν, Σῶτερ, πρᾶσιν

[1] Ἴδε καὶ ἀνωτέρω ἀρ. 58, ὅπου φέρεται οὐδετέρως τὸ πέπλον.
[2] Μεταξὺ τοῦ δαι καὶ τῦμόνα διεγράφη ἡ τὸ πρῶτον γραφεῖσα συλλαβὴ κυ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Εργ.Α της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

σὲ τοῖς φονευταῖς ἀντιδοὺς ἀργυρίων,
ἄφρων, καὶ συλᾷ χρύσεόν σκεῦος τοῦτο
τοῦ σώματός σου δεκτικὸν τοῦ τιμίου.
'Αλλ' ὁ κραταιὸς Μανουὴλ μέγας ἄναξ
ὡς βασιλικὴν οὐ κεκρυμμένην μόνον
δραχμὴν ἐφεῦρεν, ἀλλὰ καὶ τεθραυσμένην
φ. 34ᵃ καί σοι νεουργῶν αὖθις αὐτὸ προςφέρει.

70 (φ. 34ᵃ). «'Επὶ πέπλῳ ἀναρτηθέντι εἰς τὸν ἐν τῇ Χαλκῇ ναόν». 'Εχει ὅλον ὧδε·

Δῶρον μὲν οὐδὲν ἄξιόν σοι τοῦ κράτους
οὐδ' ἂν ἑαυτὸν τὶς ὅλον σοι προςφέρῃ,
πλάστα, τροφεῦ, σύνδεσμε, τοῦ παντὸς λόγε.
Καὶ σῶμα γὰρ σῆς[1] ἐστι δεξιᾶς πλάσις
καὶ ψυχικὴ δύναμις ἐμφύσημά σου.
Τὸ χρυσίον σόν, μάργαροι σοὶ καὶ λίθοι.
Πλὴν ἀλλὰ τὴν ἄμετρον ἐμφαίνων χάριν
κἂν τὰ σὰ δέξῃ τῶν δεδωκότων κρίνεις,
ζυγοστατεῖς δὲ τῷ προθύμῳ τὴν χάριν.
'Εμοὶ μὲν οὖν βούλημα καὶ ψυχῆς ζέσις
τεράστιόν σοι, Σῶτερ, ὑφάναι πέπλον
ἐκ καρδιακῶν αἱμάτων βεβαμμένον
ἀνθ' οὗ καθ'ὑγίασας ἐκ δεινῆς νόσου[2]
ἀφῇ πέπλου[3] σοῦ, καθάπερ πρὶν κρασπέδου,
τὸν σύζυγόν μου, τὴν πνοήν μου, τὸ κλέος,
'Αλέξιον, βλάστημα Κομνηνῶν γένους
αὐτοκρατορόπαιδος ἐξ 'Ανδρονίκου
σεβαστοκρατοροῦντος, ἔρνους πορφύρας,
κρατοστράτορος ἀξίαν ἐζωσμένον.
'Επεὶ δὲ τοῦτο φύσις οὐκ οἶδε πλέκειν,
ὅμως πάλιν βαλοῦσα πίστεως κρόκην
καὶ στήμονα στήσασα καρδίας πόθον,

[1] γῆς
[2] νόσου ἄνω ἐπὶ τῆς λέξεως πέπλου διαγεγραμμένης.
[3] πέπλοις

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: Ο ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

τοῦτον προαρτῶ προσκυνητοῦ σου τύπου
πορφυροῦφῆ χρυσεόστικτον πέπλον,
πιστὴ λάτρις σὴ Δουκόβλαστος Μαρία.
Τὸ σὸν λαβὼν οὖν δῶρον ὡς ἐμὸν δέχου
καὶ τὸν σύνευνον μέχρι μακρῶν ἡλίων
σκίαζε τοῖς σοῖς μυστικοῖς μεταφρένοις
νύκτα σκεδάζων ποικιλοτρόπων νόσων,
λύχνος δὲ τούτου ταῖς τρίβοις πάσαις γίνου,
τῶν ἀγκαλῶν τοῦτον δε συντήρει μέσον
τοῦ πατραδέλφου τοῦ μυριαριστέως
αὐτοκρατοῦντος Μανουὴλ Ῥώμης νέας
καὶ τῶν καλῶν πλήμμυρε τούτῳ τὰς βρύσεις

71 (φ. 34α). **Ἀνεπίγραφα δημοτικὰ εἰς αὐτοκράτορα.**

**Ἔχουσιν ὅλα ὧδε·**

Ἐξήλθομεν, ὦ κράτιστε Ῥωμαίων αὐτοκράτορ,
τὸν στέφανόν σου κατιδεῖν τὸν θαυμαστόν, τὸν ξένον,
καὶ βλέπομεν ὑπερφυῆ καὶ πᾶσαν ὑπὲρ γλῶσσαν.
Ἡνίκα γὰρ ἡ θρέψασα καὶ συνοδεύουσά σοι
ὡς ἐξ αἰθέρος ἄνωθεν καινῶς ἐφιπταμένη
τῇ σῇ χρυσέᾳ κορυφῇ προτείνεται τὸ στέφος
ἐκ τετραρίθμων συμπαγὲν μεγίστων σου τροπαίων.
Καὶ μάρτυρες Ῥουπέτιος, πρίγκιψ, σουλτάνος, Χάλεπ.
Καὶ τίς τῶν πρώην βασιλεὺς οὕτω λαμπρῶς ἐστέφθη;
Ναί, ζῆθι, χαῖρε, κραταιοῦ καὶ στεφανοῦ ταῖς νίκαις.

Ὥρισε πάλαι καὶ θεὸς Νινευιτῶν τὴν πόλιν
εἰς παντελῆ καταστροφὴν ὀργίλως ἐκδοθῆναι,
ἀλλὰ μετάμελον ἰδών, θλίβει ψυχὴν Προφήτου,
μεταβαλὼν ἐκ τοῦ θυμοῦ καὶ δοὺς αὐτοῦ συγγνώμην
Πλὴν ἀλλὰ φλέγει Σόδομα, γῆν ἐμπιπρᾷ Γομόρρας,
τὸ τῶν κακῶν ἀσύγγνωστον μέχρι καὶ τέλους βλέπων.
Οὕτω καὶ σύ μοι, βασιλεῦ, τοῖς μεταμελομένοις
ἐφ' οἷς παρώργισαι τὸ σὸν ἐκ παροινίας κράτος
φαίνῃ πραῢς καὶ συμπαθὴς καὶ δίδων τὰς ἀφέσεις,

τὰ δὲ σὺν σοὶ καὶ τοῦ θεοῦ καταπεφρονημένα
ἔα πυρὶ φλογίζεσθαι, ποντοῦσθαι τῇ θαλάσσῃ.

72 (φ. 34α). «Εἰς τὰς εἰκόνας τῶν βασιλέων τοῦ τε κυροῦ Ἀλεξίου» [1].

Ἔχει ὅλον ὧδε·

Καὶ χρημάτων μὲν στιλπνότης καὶ χρυσίου
καὶ ποικίλων στίλβουσα λαμπρότης λίθων
δείκνυσι φαιδρὸν τὸν κατάχρυσον δόμον
πλὴν οὐκ ἀπ' αὐτῶν ἔνδον ἡ χάρις τόσον
ὅσον περ ἐκτὸς ἐκ γραφῆς τῶν εἰκόνων.
Ἰωάννης γὰρ εὐκλεὴς ἐν ἀξίαις
φ. 34β ‖πρωτοσεβαστοῦ πρωτοβεστιαρίου,
ὃν πορφυρανθὴς Ἀνδρόνικος ἐκφύει
σεβαστοκράτωρ, τέκνον αὐτοκρατόρων,
ὃν εἶχεν ἐγκάρδιον ἐκφαίνων πόθον
πρὸς τοὺς γενάρχας αὐτάνακτας δεσπότας,
τούτων πρὸ πυλῶν εἰκονίζει τοὺς τύπους
εἰς καλλονῆς αὔξησιν, εἰς κόσμον μέγαν.
Ἀλέξιον πάρεστι Κομνηνὸν βλέπειν
ἄνακτα τὸν στέψαντα νίκαις τὸ στέφος,
βλαστὸν δ' ἐφεξῆς πορφύρας Ἰωάννην,
ὃς πατρικὴν εὔκλειαν ηὔξησε πλέον
ἐκ γῆς ἑῴας μέχρι δυσμῶν ἡλίου.
Ἐκεῖθεν ὄψει καὶ Μανουὴλ δεσπότην
πορφυροφυῆ, πᾶσι φρικτὸν βαρβάροις,
ᾧ προσκυνοῦσι Δαλμάται, Πέρσαι ⟨καὶ⟩ Σκύθαι,
Ἀντιόχου γῆ καὶ Κίλικες καὶ Χάλεπ.
Ὅσον τὸ λαμπρόν, ἡλίκην δὲ τὴν χάριν
ἐντεῦθεν αὐχεῖν τὸν δόμον κρίνεις, ξένε.
Σκόπει δ' ἐπ' αὐτοῖς καὶ τὸ τοῦ πόθου μέτρον,
ὃ πρὸς τὸν αὐτάνακτα Μανουὴλ φέρει
ὁ πορφυρανθόβλαστος ὃς ταῦτα γράφει.

[1] Ἡ ἐπιγραφὴ φαίνεται ἀτελής, μὴ μνημονευομένου καὶ τοῦ Ἰωάννου.

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

Ἣν γὰρ τρέφει δούλωσιν αὐτῷ δεικνύων
καὶ πίστιν ἀσύγκριτον ἐκ ψυχῆς μέσης
ποδῶν προκύπτων προσκυνεῖ κἂν τοῖς τύποις,
δοκεῖ δὲ λαλεῖν ταῦτα καὶ γεγραμμένος·
«Πατὴρ μὲν εἰς φῶς ἐξάγει με καὶ μόνον,
βασιλέων κράτιστε, δόξα τοῦ στέφους,
αὐτὸς δ' ἁπαλῶν ἐξ ὀνύχων ἐκτρέφεις
καὶ πλάσιν ἄλλην μυστικῷ πλάττεις τρόπῳ,
ὡς ψυχοπάτωρ εὐγενῶς μὲν ἀνάγων,
ἤθη δὲ κοσμῶν καὶ περιφράττων ὅπλοις,
στρατοαρχικῶς ἅπαντα διδάσκων νόμον,
ἀναστομῶν μοι δωρεῶν βρύσεις ὅλας,
εὐεργετεῖν με μηδὲ λαμβάνων κόρον,
τιμάς τε διπλᾶς πρωτεπωνύμους νέμων,
ἁπλῶς θεός μου δεύτερος δεδειγμένος.
Ἐπαξίως γοῦν εὐχαριστεῖν οὐ σθένων,
αἰτῶ γενέσθαι σοῦ θρόνου τοὺς ἡλίους,
ὡς Δαυΐδ[1] εἶπεν οὐρανοῦ τὰς ἡμέρας[2]
γῆς καὶ θαλασσῶν σχεῖν κύκλῳ μοναρχίαν,
πλήρη δὲ μακρότητος ἐστιῶν χρόνον
λιπεῖν τέκνῳ σῷ τὸ στέφος καὶ τὸ κράτος,
ὡς εἰς πλέον πλέκοιτο σειρὰ σοῦ γένους
καὶ βασιλείαν τὴν ἄληκτον ἐν τέλει
τῷ παμβασιλεῖ συμβασιλεῦσαι λόγῳ».

**73 (φ. 34β). «Εἰς εἰκόνα τῆς σταυρώσεως τοῦ Χριστοῦ». Στίχοι 19. Παραλειπομένων τινῶν στίχων ἐν τῷ μεταξύ, ἔχει ὧδε·**

Ὡς ἐν ξύλῳ τινὶ[3], Σῶτερ ἐστρωμένος

. . . . . . . . . . . . . .

[1] δᾶδ'

[2] Μετὰ τὸν στίχον τοῦτον οἱ ἑξῆς τρεῖς στίχοι διαγεγραμμένοι·
Ἰωάννης γὰρ εὐκλεὴς ἐν ἀξίαις
πρωτοσεβάστου πρωτοβεστιαρίου
ὃν πορφυρανθὴς Ἀνδρόνικος ἐκφύει.

[3] Τὸ τινὶ κατὰ διόρθωσιν ἄλλων γραμμάτων διαγεγραμμένων.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

Ἐκεῖνον οὖν αὐτόν σε πιστεύων βλέπειν
Μεσαρίτης σὸς οἰκέτης πιστὸς Λέων
τὴν σὴν κεφαλὴν ἐκστέφει χρυσαργύρῳ.
Τὴν πρὶν ἀκανθόστεπτον ἰδοὺ καλλύνω,
τοῖς τιμιωτάτοις δὲ λαμπρύνω λίθοις,
μνήμην ἀληθῆ τοῦ λιθοστρώτου φέρων.
φ. 35α ‖ Σὺ δ' ἀλλ' ὁ κλίνας τὴν κεφαλὴν ἐν ξύλῳ
καὶ Δεῦτε π[ρός] με πάντες ὡςπερεὶ φράσας
αἰτοῦντι καὶ νῦν κλῖνον αὐτήν μοι, λόγε,
καὶ κατανεύων τὴν παράκλησιν δέχου,
ἐμῶν δὲ παθῶν τὰς ἀκάνθας ἐκσπάσας
θείας τρυφῆς δὸς ἐντρυφᾶν με τῇ χλόῃ.

74 (φ. 35α). «Εἰς τρικάνδυλον».

Ἔχει ὅλον ὧδε·

Τίς τῶν πρὸς ἡμᾶς θαυμάτων σου, Παρθένε,
καὶ τῶν χαρίτων ἀντίχαρις ἀξία,
θεόβρυτε, πάγχρυσε φωτὸς λυχνία;
Πλὴν χρυσοειδεῖς προςφέρω σοι λυχνίας
φαίνουσα πυρσὸν πίστεως ἐγκαρδίου,
Ἀλεξίου παῖς πορφυρανθοῦς Μαρία
ἄνακτος αὐτάνακτος ἐξ Ἰωάννου,
ἐπεὶ προλάμπων τῶν ποδῶν ὤφθης λύχνος [1]
πρωτοστράτορος εὐκλεοῦς Ἀλεξίου
τοῦ πανσεβάστου συζύγου μου ταῖς τρίβοις,
καὶ γῆς ἐπανήγαγες ἀγκῶνος μέσης
ἔργων ἀπαστράπτοντα λαμπραῖς ἀκτῖσιν
εἰς ὕψος, εἰς εὔκλειαν Αὐσόνων κράτους.
Σὺ δ' ἀλλὰ μακροὺς τῶν χρόνων τοὺς ἡλίους
κύκλευε τούτῳ καὶ κακῶν πάντων ῥύου,
ἀμφοῖν δὲ δίδου φῶς θεοῦ βλέπειν τέλος.

75 (φ. 35α). «Εἰς ἐγχείριον τῆς ὑπεραγίας Θεοτόκου». Στίχοι 8. Παραλειπομένων στίχων τινῶν ἐν τῷ μεταξύ, ἔχει ὧδε·

[1] λύχνος κατὰ διόρθωσιν τοῦ τὸ πρῶτον γραφέντος λίχνος

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

Τὸν ἀπερίγραπτόν σε τοῦ θεοῦ λόγον
. . . . . . . . . . . . . .
Θεοδώρα Δούκαινα σοῦ κράτους λάτρις.
Σὺ δ' ἀλλὰ μακροὺς ἡλίους μοι τοῦ βίου
σὺν Θεοδώρῳ τῷ συνευνέτῃ νέμοις
λύτρον νόσων, εὔροιαν εὐπραγημάτων,
τέλος δὲ κοινὴν τὴν Ἐδὲμ κατοικίαν.

75 (φ. 35α). «Εἰς τάφον» Εἰρήνης τῆς Συναδηνῆς. Ἔχει ὅλον ὧδε·

Ἐκ τῆς σκιᾶς ἄνθρωπε καὶ τῶν γραμμάτων
τὴν κειμένην γνοὺς τίς, πόθεν, τίνων ἔφυ
σκιὰν ἀληθῶς ἐκδιδάσκου τὸν βίον
καὶ ῥοῦν ποταμοῦ καὶ πνοῆς ἀστασίαν.
Αὕτη προῆλθε Συναδηνῶν ἐκ γένους,
εἰρηνικῆς δ' ἔλαχε κλήσεως χάριν.
Καιροῦ δὲ καλέσαντος αὐτὴν εἰς γάμον
τῷ πανσεβάστῳ Μανουὴλ συνεζύγη,
Βοτανειατῶν ἐκ φυλῆς προηγμένῳ.
Μακρὸν δὲ συζήσασα τούτῳ τὸν χρόνον
οὐκ ἔσχε μητρὸς κλῆσιν εὐτυχηκέναι,
οὐ χερσὶ συσχεῖν ἐνσπαρὲν ταύτῃ βρέφος.
Ὅσων ὀδυνῶν αἴτιον τοῦτο κρίνεις;
Πλὴν ἀλλ' ἐπ' αὐτῷ συνδραμόντων μυρίων
ζωῆς ἀειστένακτον εἶχεν ἡμέραν,
ἄλλης ἐπ' ἄλλῃ θλίψεως ἐπηγμένης,
ὧν ἓν παρηγόρημα τοὺς πόνους λῦον [1]
ἡ τῶν πόνων λύτειρα μήτηρ Παρθένος,
ᾗ καὶ προςανέθεντο ταύτην ἐκ βρέφους
γονεῖς, ἀναγέννησιν εἰςδεδεγμένην
ὕδατι καὶ πνεύματι μυστικοῖς λόγοις.
Ἐπεὶ δὲ κόσμου τὴν πολύφθορον ῥύμην
ἔγνω καταστρέφουσαν εἰς πτύχας τάφου,
φθάνει πρὸ δυοῖν ἡλίου κυκλευμάτων

[1] λῦον. Πρὸ τοῦ λ ἐγράφη κ. διαγραφὲν ἔτι νωποῦ ὄντος τοῦ μέλανος.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ. ως Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

λιποῦσα πᾶσαν κοσμικοῦ φίλτρου σχέσιν,
ταῖς θριξὶ συντεμοῦσα τοὺς κάτω πόθους
καὶ τῷ νοητῷ συνδεθεῖσα νυμφίῳ·
τῆς Μαρίας δὲ κλῆσιν ἀντηλλαγμένη
μερίδα καλὴν ἐξελέξατο, ξένε.
Καὶ νῦν ἑτοίμη ταράχου παντὸς δίχα
πρὸς τὴν τομὴν εὕρητο τὴν τοῦ θανάτου.
Αὐτὴν δὲ πάλιν τὴν τοκάδα Παρθένον
πίστει καθαρᾷ καὶ πρὸ τοῦ τάφου γράφει,
αἰτοῦσα θερμὴν πρέσβεν εὑρεῖν ἐν κρίσει
ὡς ἂν φλόγινα νῶτα ῥομφαίας ἴδῃ.
φ. 35β ‖ χλόῃ δε τρυφῆς ἐντρυφ[ᾷ] ψυχοτρόφῳ.

76 (φ. 35β). Ἀνεπίγραφον εἰς τὸν τάφον Βασιλείου Ἐδεσσηνοῦ. Ἔχει ὅλον ὧδε·

Ἔθλιψέ σε καὶ μόνη θέα, ξένε,
ὀφθαλμὸν εὐθὺς ἐμβαλόντα τῷ τάφῳ·
ὁμογνίοις γὰρ συμπαθεῖν θέλει φύσις·
ἂν δ' ἐκδιδαχθῇς καὶ τὸν ἐν τούτῳ νέκυν,
ὄμβροις σεαυτὸν ῥαντιεῖς τῶν δακρύων.
Κεῖται γὰρ ἔνδον ἐκῤαγεὶς καὶ πρὸ χρόνων
τῆς τῶν τεκόντων φιλοτέκνου καρδίας
Βασίλειος μείρακα μηδέπω φθάσας,
κοσμῶν δὲ παίδων τὴν νέαν ἡλικίαν
ἐκ τῆς κατ' ἄνδρα κρίσεως τῆς ἐν βίῳ,
ὃν Κυριακὸς Ἐδεσηνὸς ἐκκύει
μητρὸς Μαρίας Τριακονταφυλλίνης.
Οὗτος χρόνου πάγκαλον ἀνύων ἔαρ
χάρισιν ἤνθει μυρίαις ὥςπερ ῥόδον,
καλὸς προςιδεῖν, γλυκερὸς τὰ πρὸς λόγους,
γονεῦσιν εὐπείθειαν ἐν τιμῇ φέρων,
μαθημάτων ἔρωτα γνώσεως τρέφων,
χρηστὰς προδεικνὺς τοῦ τέλους τὰς ἐλπίδας.
Ἀλλ' ὦ σκιὰ κλίνουσα καὶ πνοῆς τάχος
καὶ ῥοῦς ποταμοῦ καὶ γέμον ψεύδους ὄναρ,

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

ἄστατε κόσμου δρᾷς συνήθως καὶ πάλιν.
φθίνει γὰρ εὐθὺς ὢν ἔαρος ἐν μέσῳ
καὶ πᾶσαν αἴφνης ἐκθερισθεὶς τὴν χάριν
πρὸς γῆν καταρρεῖ, καὶ καλύπτεται τάφῳ.
Σὺ δ' ὦ φυτουργέ, συνδέτα, πλάστα, λύτα,
Ἐδὲμ καταφύτευσον αὐτὸν ἐν χλόῃ
ζωῆς τε τρυγᾶν ἀξίωσον τοῦ ξύλου
καὶ παισὶν ἅμα, Δαυὶδ[1] ὡς μέλπει λύρα,
ᾄδειν τὸν αἶνον καὶ τὸ σὸν φέγγος βλέπειν.

77 (φ. 35β). «Εἰς τὸ προπύλαιον τῆς μονῆς».

Ἔχει ὅλον ὧδε·

Ταύτην νεουργεῖ τὴν πρὸ πυλῶνος στέγην
εἰς κόσμον ἅμα καὶ παρεστώτων σκέπην
Ἀντιοχείτης σὸς Γεώργιος λάτρις.
Σὺ δὲ στεγάζων οὐρανοὺς ἐξ ὑδάτων
ταῖς σαῖς, λόγε, πτέρυξιν ἐν βίῳ σκέπων
τέλος τρυφῆς ἄνοιξον αὐτῷ τὰς πύλας.

78 (φ. 35β). «Εἰς τὸ αὐτόν».

Θεοῦ λόγε, πύλην σε τὴν κεκλεισμένην
ὅς ἐστι θύρα τῆς νοητῆς παστάδος
μονῆς πρὸ πυλῶν εἰκονίζομεν, κόρη,
Τῶν ἔνδον οὖν ἄγρυπνος εὑρίσκου φύλαξ
ἐπιζυγοῦσα τοῖς κακοῖς τὰς εἰσόδους
καὶ μυστικοῦ φωτὸς δε χρυσῆ λυχνία
τὰς τῶν μοναχῶν ἐκλίπαινε λαμπάδας.
ἔλαιον ἐνστάζουσα καθαροῦ βίου
καὶ γρηγορούσας εἰς καλῶν ἐργασίας
σὺν ταῖς φρονίμοις τάξον αὐτὰς παρθένοις.
Ὁ νυμφίος γὰρ ὑπακούσεται λόγος
μητρὸς καλούσης ἐξανοῖξαι τὴν θύραν.

[1] Ὁλόγραφον.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΒΥΖΑΝΤΙΝΗΣ ΦΙΛΟΛΟΓΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

79 (φ. 35β). «Εἰς κιβώτιον ἔχον μῦρον τοῦ ἁγίου μάρτυρος Δημητρίου».

Ἔχει ὅλον ὧδε·

Θεσσαλονικέων μὲν ἡ πόλις φέρει
σὸν μυροβλυτοῦν, μάρτυς, ἁγνὸν σαρκίον,
πατρὶς τὸ τέκνον ὥςπερ ἠγκαλισμένη
καὶ τῶν χαρίτων τὴν ἀείρρυτον (sic)
πλουτεῖ περιβλύζουσα αὐτῆς ἐν μέσῳ,
ὡς ἐκ φλεβὸς πάλιν δὲ μυριοβλύτου
οἰκουμένης πρόςωπον ἀρδεύει κύκλῳ.
Ἐγὼ δὲ θερμῷ σῷ πόθῳ τετρωμένος
ξένος μοναστής, ἀρετῶν θείων ξένος
τάφου τύπον σοῦ συντιθεὶς ἐξ ἀργύρου
σὸν μῦρον ἔνδον ἐμβαλών, πίστει φέρω,
δῶρον δὲ μυρίοβλον εὐσεβῶς νέμω
μονῆς μονασταῖς τοῦ σεβασμίου Σάβα,
ὧν ταῖς προσευχαῖς μιγνύων σου τὴν χάριν
ῥύπους ἐμοὺς κάθαιρε σοῦ ῥείθρῳ μύρου,
ἐν τῷ τέλει δὲ τὴν Ἐδὲμ μονὴν δίδου.

80 (φ. 35β). «Εἰς ἐγκόλπιον τῆς ἁγίας δεσποίνης».

Ἔχει ὅλον ὧδε·

φ. 35β ‖ Λύων ὀνείρους Δανιὴλ βασιλέως,
φιμῶν δὲ τοὺς λέοντας ἐν λάκκῳ πάλαι
ἐχθροὺς ὁρατοὺς καὶ νοουμένους τρέποις
τῆς αὐτανάσσης βασιλίδος Εἰρήνης.

81 (φ. 36α). «Εἰς τὰς πύλας τοῦ οἴκου ἐν αἷς εἰκονίσθη ὁ βασιλεὺς καὶ ἄνωθεν αὐτοῦ ἡ ὑπεραγία Θεοτόκος ἔχουσα ἐγκάρδιον τὸν Χριστὸν στέφοντα τὸν βασιλέα καὶ ἄγγελος προοδεύων ὁ ἅγιος τε Θεόδωρος ὁ Τήρων χειρίζων αὐτῷ τὸ ξίφος καὶ ὁ ἅγιος Νικόλαος ὄπισθεν ἑπόμενος».

Ἔχει ὅλον ὧδε·

Ἰδοὺ Μανουήλ, ἀρραγὲς Ῥώμης κίον,
Κομνηνέ, βλαστὲ πορφύρας, αὐτοκράτορ,

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

ἐξ οὐρανῶν ὕψιστος εἰς σὲ προςβλέπων
καὶ συσκιάζων τῇ μετ⟨ρ⟩αφρένων σκέπῃ
καὶ τοῦ κράτους τὸ στέμμα ταῖς νίκαις στέφων,
τῆς μητρανάνδρου προςλιταζούσης κόρης.
Ἰδοὺ προηγὸς ἄγγελός σοῦ ταῖς τρίβοις
προςκομμάτων ἅπαντας ἐξαίρων λίθους
καὶ πρὸς φυλακὴν σοῦ παρεμβάλλων κύκλῳ.
Πάρεστι Τήρων χριστομάρτυς ἱππότης,
ἐν ταῖς κατ' ἐχθρῶν συμβολαῖς σου προτρέχων
καί σου διδάσκων πρὸς παράταξιν χέρας,
τὸ ξίφος αὐταῖς ἐντιθεὶς τεθηγμένον.
Σύνεστι Νικόλαος, ἡ μύρου βρύσις,
σκῆπτρα κρατύνων, τὸν δὲ νῶτον σου σκέπων,
τρέπων δὲ μακρὰν ἡμέρας πτηνὸν βέλος
καὶ τοὺς κρυφῇ βάλλοντας εἰς χοῦν λεπτύνων.
Τοιοίδε σοι φύλακες εἰσὶν ὑψόθεν.
Τούτοις πεποιθὼς τὴν μοναρχίαν φέρεις
ἐκ τῶν ἄκρων γῆς μέχρις αὐτῶν τερμάτων.
Σὴν δεξιὰν ἔφριξεν Ἰσμαὴλ τέκνον,
Σύρος τρυφηλὸς, Βαβυλώνιος, Σκύθης,
Παίων, Τριβαλὸς, Ἰλλυριὸς, Δαλμάτης.
Οὗτοι σε μακρότητος ἡμερῶν ὅσης
πλήσουσι, Δαυὶδ[1] ὡς βοᾷ ψάλτης ἄναξ.
Ταῦτα προφάσκει Καματηρὸς πατρόθεν
σεβαστὸς Ἀνδρόνικος, ἐκ μητρὸς Δούκας
πρὸ τῶν πυλῶν σου δουλικῶς γράψας πόθῳ
ὡς προςκυνῇ σου καὶ γραφέντα τὸν τύπον.

82 (φ. 36α). «Εἰς τὸν τάφον τῶν Ἀντιοχειτῶν Θεοδώρου καὶ Ἰωάννου.»

Ἔχει ὅλον ὧδε·

Εἰ τερπνὸν οὐδὲν, ὡς Δαυὶδ[2] ψάλλων γράφει,
ἢ τοὺς ἀδελφοὺς εἰς στέγην οἰκεῖν μίαν,

[1] δα' δ
[2] δα' δ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

τί πικρὸν οὕτω καὶ δριμύττον καρδίαν
ὡς τῶν ἀδελφῶν ἐκτομὴ συνοικίας;
Θέλεις μαθεῖν; Ἄκουε καὶ θρήνει, ξένε.
Ὁ νεκρὸς οὗτος ὃν βραχὺς κρύπτει λίθος
Ἀντιοχειτῶν ἐξέφυ γεννητόρων
Θεόδωρος τὴν κλῆσιν, ἐκ δὲ τῶν τρόπων
δώροις θεοῦ κόσμιος ἡλίκοις ὅσοις
τὸ σεμνὸν εἶχε, τὴν προςηνῆ καρδίαν.
Πένησι κοινὸς ἦν ἅπας αὐτῷ βίος,
φθόνος δὲ νικᾷ καὶ νεκρῷ νῦν τὸν τάφον.
Τοῦ λατύπου χείρ· σύγγονος δ' Ἰωάννης
στάζοντι πυκνὰ λατομεῖ τῷ δακρύῳ.
ξέει δὲ κοινὴν τοῦ μακροῦ κλίνην ὕπνου.
Σὺ δ' ἀλλὰ φωτὸς λύχνε, νυμφίε φίλε,
Θεοδοσίῳ φῶς θεοῦ βλέπειν δίδου
ἔνδον νοητῆς εἰςδραμόντι παστάδος.

83 (φ. 36α). «Εἰς εἰκόνα κοιμήσεως τῆς ὑπεραγίας Θεοτόκου δωρηθεῖσαν τῇ ἐν Ἰορδάνῃ μονῇ τοῦ Προδρόμου».

Ἔχει ὅλον ὧδε·

Τὸν μυστικόν σε καὶ θεόδροσον πόκον,
τὴν συλλαβοῦσαν ἀπερίγραπτον λόγον
ὡς ὑετὸν χυθέντα τῇ σῇ νηδύι
γράφω σχετικῶς προςκυνῶν σου τὸν τύπον,
νέμω δὲ δῶρον τῇ μονῇ τοῦ Προδρόμου
τῇ τῶν ῥοῶν ἔγγιστα τοῦ Ἰορδάνου,
ἐν αἷς ὁ τὴν ἄβυσσον ἐν χεροῖν φέρων
τὴν ὑπὲρ ἡμῶν σαρκικὴν ἔσχε πλάσιν.
Σὺ δ' ἀλλ' ἀφυπνώσασα σώματος νόμοις,
συζῶσα δ' αὐτῷ τῷ θεῷ σου καὶ τέκνῳ
φ. 36β ‖ Κωνσταντῖνον σώζοις με σὺν τῇ συζύγῳ,
Ἀγγελοπούλων ἐκ γένους κατηγμένῃ.

84 (φ. 36β). «Εἰς τὸ βάπτισμα τῆς πορφυρογεννήτου κυρᾶς Ἄννης γεγονὸς κατὰ τὸ ἅγιον μέγα Σάββατον».

Ε.Υ. Δ/νσης Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

Ἔχει ὅλον ὧδε·

Ἐν τάφῳ σήμερον Χριστὸς, ἀλλὰ νεκροὺς ἐγείρει·
σινδόνι συσφιγγόμενος, ἀλλὰ δεσμώτας λύει·
σφραγίζεται φρουρούμενος, ἀλλ' ἀναστὰς λανθάνει
καὶ χαίρει σύμπας οὐρανὸς ἐπὶ τῷ μυστηρίῳ,
χαίρει καὶ γῆ τοὺς ἐν αὐτῇ νεκροὺς ἀναδιδοῦσα,
ἐπὶ δὲ τούτῳ καὶ τοῖς νῦν συγχαίρει τελουμένοις.
Ἄννα καὶ γὰρ πορφυρανθὴς, παῖς Μνουὴλ δεσπότου,
πορφυροβλάστου, νικητοῦ, μυριοτροπαιούχου,
νῦν τῷ Χριστῷ συνθάπτεται λαμπρῶς βαπτιζομένη,
καὶ κοινωνεῖ πνευματικῶς ἐγέρσεως τῆς τούτου
καὶ δεσμουμένη καθαραῖς καὶ φωτειναῖς σινδόσιν
λύεται τῆς γενέσεως σειρᾶς τῆς ἀρχεγόνου
καὶ τὴν σφραγῖδα δέχεται τῆς παλιγγενεσίας.
Τοίνυν διπλῆν πανήγυριν τελοῦμεν χαρμοσύνως.

Ὥς εὖ σοι, πορφυρογενὴς Ἄννα, τοῦ πρώτου τόκου,
ὀσφὺς καὶ γάρ σε γεναρχεῖ μεγάλου βασιλέως,
τοῦ τροπαιούχου Μανουὴλ, καὶ σπαργανοῖ πορφύρα.
Εὖγέ σοι καὶ τῆς νοητῆς νῦν ἀναγεννησίας.
Τῷ γὰρ θεῷ σωματικῶς ταφέντι συνενθάπτῃ
καὶ μετ' αὐτοῦ συνανιστᾷ καὶ τούτῳ συνδοξάζει
καὶ μύρου χρίσμα φέρουσα Χριστῷ προσεμφανίζῃ,
λέγοντι Χαῖρε θύγατερ κατὰ τὰς μυροφόρους.
Ἐπευφρανθείη σοι πατὴρ αὐγοῦστα τέ σου μήτηρ,
τερφθείησαν τοῖς τέκνοις σου καὶ τοῖς αὐτῶν ἐκγόνοις,
βλέποντες τόκους τοὺς αὐτῶν καὶ τὰς ἀναγεννήσεις.

Ὑδάτων πρώην Ἠλιοὺ τρισσεύσας τὰς ὑδρίας
κατήνεγκεν ἐξ οὐρανοῦ πῦρ φλέγον τὴν θυσίαν,
τῇ δ' ἐπικλήσει τῇ τριπλῇ τῆς μοναπλῆς Τριάδος
ὁ πατριάρχης σήμερον, Ῥώμης ποιμὴν τῆς νέας,
κατάγει πῦρ φωτιστικὸν τοῦ πνεύματος ἐξ ὕψους,
ἀρχιερέων τοῦ θεοῦ κυκλόθεν παρεστώτων,
καὶ λούσας ὕδατι καινῷ τῆς θείας κολυμβήθρας

Ἄνναν τὸ νέον βλάστημα τῆς ἱερᾶς πορφύρας
παρίστησι φωτοειδῆ θεῷ πατρὶ τῶν φώτων,
καὶ χαίρουσιν ἀγγελικαὶ τῇ τελετῇ χορεῖαι.

85 (φ. 36β). «Εἰς περιφέρειον τοῦ τάφου ἀργυροῦν».

Ἔχει ὅλον ὧδε·

Ὁ τύμβος οὗτος μητρὸς ἔστιν εὐτέκνου
εὐμήτορός τε παιδὸς ἰσοκαρδίου.
Τὴν γὰρ Κομνηνὴν πανσέβαστον Σοφίαν,
τὴν ἐν μοναχαῖς συγκαλύπτει Σωσάνναν
σεβαστοκρατορ[ο]ς τέκνον Ἰσαακίου
καὶ παῖδα ταύτης τὴν σεβαστὴν Εἰρήνην.
Κοινὴ γὰρ ἀμφοῖν καὶ θανούσαις ἡ κόνις
αἷς πρὶν ὑπὲρ σύγκρισιν ἡ συμψυχία.

86 (φ. 36β). «Εἰς ἐγχείριον τοῦ τρικανδήλου».

Ἔχει ὅλον ὧδε·

Πολλῶν τυχοῦσα δωρεῶν[1] σου, Παρθένε,
ἐκ γαστρὸς αὐτῆς μητρικῆς προηγμένη
καὶ τῶν μοναστῶν ῥάκος ἠμφιεσμένη
μακρὰν ἀμοιβὴν δεῖγμα τοῦ πόθου φέρω
Εὐφημία, βλάστημα τῶν Κληρονόμων,
καὶ σὴν νεουργῶ προςκυνητὴν εἰκόνα,
πέπλον δ' ἀναρτῶ προςδὲ, τριττὰς λυχνίας.
Σὺ δ' ἀλλὰ χρυσῇ λυχνίᾳ φώτιζέ με,
στολὴν δ' ἐπενδύσασα μυστικοῦ γάμου
σὺν ταῖς φρονίμοις εἰςάγαγε παρθένοις.

87 (φ. 36β) «Εἰς τὴν εἰκόνα τοῦ ἁγίου Συμεὼν τοῦ θεοδόχου βαστάζοντα τὸν Χριστόν»

Ἔχει ὅλον ὧδε·

Ἐν χερσὶ τοῦτο τὸ βρέφος φέρων, γέρον,
μᾶλλον δι' αὐτοῦ συγκρατῇ καὶ συνδέῃ.

[1] Ἡ λέξις δωρεῶν γραφεῖσα τὸ πρῶτον πρὸ τοῦ τυχοῦσα διεγράφη, εἶτα δ' ἐπανελήφθη ἐν τῇ οἰκείᾳ θέσει μετὰ τὸ τυχοῦσα

Ε.Υ. Δ.τής Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

Θεὸς γάρ ἐστιν· ἀλλὰ τί χρὴ σοι λέγειν;
Οἶδας γὰρ αὐτόν· Χριστὸς ἐστὶ Κυρίου,
ὅν σοι κατιδεῖν εἶπε τὸ Πνεῦμα φράσαν.
Ὃν ἀπολυθῆναι σοῦ δεσμοῦ σαρκίνου
αἰτῶν συνεύχου καὶ λύσιν τῶν πταισμάτων
Λουκᾷ μοναχῷ, προςκυνητῇ σοῦ τύπου.

88 (φ. 37α). «Ἐπὶ τῇ παρὰ τοῦ πανσεβάστου σεβαστοῦ καὶ μεγάλου δρουγγαρίου κοσμηθείσῃ διὰ χρυσοῦ καὶ λίθου καὶ μαργάρων εἰκόνι τῆς ὑπεραγίας Θεοτόκου».

Ἔχει ὅλον ὧδε·

Ἂν ἐσφυρηλατεῖτο τοῦ στήθους φύσις,
ἂν ἐξεμαργαροῦτο καρδίας πλάσις,
ἂν στιλπνότητα εἶχον ὀφθαλμοὶ λίθων,
ἐκεῖνα ταῦτα κόσμον εἰςήνεγκά σοι,
δεικνὺς ὅσον τὸ φίλτρον εἰς σέ μοι, κόρη,
κἂν μηδ' ἐν αὐταῖς ἦν λαβεῖν τούτου κόρον.
Ἐπεὶ δὲ σαρκῶν ἀγνοεῖ ταῦτα κράσις,
τὴν τοῦ πόθου δὲ χρή με πυρσεύειν φλόγα,
ἐκ τῶν κατ' αἴσθησίν σε κοσμῶ τιμίων
ὡς ἀρχετύπῳ, ταῦτα μὴ τύπῳ φέρων.
Κρίνω γὰρ ἔμπνουν, οὐ γραφεῖσαν σε βλέπειν,
θάλλειν δὲ τὸ πρόςωπον οὐκ ἐκ χρωμάτων,
ἐκ καρδίας δὲ, Σολομὼν ὥςπερ γράφει,
ἀγαλλιώσης καὶ τρυφώσης τῇ θέᾳ
τοῦ καὶ θεοῦ σου καὶ παρ' αγκάλαις βρέφους.
Πλὴν χρυσίον τί, μάργαροι τί καὶ λίθοι
πρὸς τὴν καθαρὰν ὑπὲρ αὐγὰς ἡλίου,
ἀφ' ἧς λόγος προῆλθεν ὠστρακωμένος
ὡς ἐκ ἐλύτρου μαργαρίτης πυρφόρου,
ὡς ἐξ ὄρους ἄξεστος ἐτμήθη λίθος.
Σὺ δ' ἀφορῶσα πρὸς τὸ τοῦ πόθου ζέον
χρυσόν με δεῖξον τῇ πυρὸς τότε κρίσει,
πᾶν ἔργον ὑπόχαλκον ἐκφλέξασά μου.
Αἰτῶ σεβαστὸς Ἀνδρόνικος Δουκόθεν

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

καὶ Καματηρὸς ἐκ πατρὸς γεναρχίας
μέγας τὲ δρουγγάριος ἐκ τῆς ἀξίας.

89 (φ. 37α). «Ἐπὶ τῷ παρὰ τοῦ Δρυωνίτου κυροῦ Φωτίου νεουργηθέντι ναῷ καὶ τῇ εἰκόνι τοῦ ἁγίου Στεφάνου τοῦ πρωτομάρτυρος».

Ἔχει ὅλον ὧδε·

Τῷ σῷ πόθῳ, πρώταθλε, καθάπερ λίθῳ
τὴν καρδιακὴν . . . . . . .[1] ἡδρασάμην
καὶ πίστιν ἐνθεὶς ὡς ὑπερτάτην στέγην
ὅλον σε λαβὼν ἔνδον εἰςῳκισάμην:—
Ναὸν δὲ τοῦτον ἐκ νεοδμήτων λίθων
πρὸς σὸν βαθρεύσας ὕμνον ὠροφωσάμην
καὶ σὸν δὲ σεπτὸν εἰκονισάμην τύπον,
κἂν μὴ πρὸς ἐμφέρειαν ἀρχετυπίας.
Πῶς καὶ γὰρ ὃς πρόςωπον ἔσχες ἀγγέλου
Χριστὸν κατιδὼν οὐρανῶν ἄρσει θύρας;
Σὺ δ' ἀλλ' ὁ κῆρυξ τοῦ νοουμένου λίθου,
ὃς εἰς κεφαλὴν ἐξεκρίθη γωνίας,
καθ' οὗ λαλοῦντος γραμματεῖς ἦραν λίθους.
Προςκόμματος γὰρ Ἰσραὴλ ὤφθη λίθος,
ἀνάστασις πτῶσις τε πολλῶν εὑρέθη,
δι' ὧν βολὰς ἔστιξας ἀμέτρων λίθων,
ὡς ἐκ λίθων ἔσχες δὲ τιμίων στέφος,
σταθηρὰ δείξας λιθίνων ἐκ βαθμίδων
τῆς κλίμακος θέμεθλα τῆς τῶν μαρτύρων.
Θεοῦ πόθῳ μὲν καρδίαν ἔδραζέ μου,
τῶν σκανδάλων δὲ πάντας ἐξαίρων λίθους
τὴν εἰς Ἐδὲμ φέρουσαν εὐθέτει τρίβον,
ἕως πατήσω τὴν ἀείζωον χάριν,
Στέφανε, σὸς Φώτιος ὁ Δρυωνίτης.

90 (φ. 37α). «Ἐπὶ βουλλωτηρίῳ».

Ἔχει ὅλον ὧδε·

Σφράγισμα γραφῶν Δουκοφυοῦς Εἰρήνης

[1] Οὕτω κενὸν ἐν τῷ κώδικι.



Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

Κομνηνὸς Ἀνδρόνικος ἣ ξυνεζύγη
αὐτοκρατοῦντος Μανουὴλ ἀδελφόπαις
ἐκ πορφυρανθοῦς βασιλίσσης Μαρίας.

91 (φ. 37ᵃ). « Ἐπὶ εἰκόνι τῆς γεννήσεως τῆς ὑπεραγίας Θεοτόκου κοσμηθείσης παρὰ τοῦ πανσεβάστου μεγάλου δρουγγαρίου τοῦ Καματηροῦ Ἀνδρονίκου ».

Ἔχει ὅλον ὧδε·

Ἐξ ἀστάχυος κόκκος, ἄρτος ἐκ ζύμης,
κόχλος θαλάσσης· ἐκ δὲ ταύτης πορφύρα·
ἐκ γῆς ὄρος, λίθος δὲ πάλιν ἐξ ὄρους,
ἅπαντα ταῦτα τῆς γραφῆς ταύτης τύποι.
Ἄννα θάλασσα· κόχλος αὐτῆς ἡ κόρη,
βάψασα σαρκὸς τῷ θεῷ τὴν πορφύραν
Ἄννα καλὴ γῆ· πῖον ἐκ ταύτης ὄρος
ἡ παῖς ἐφ' ἧς ἄτμητος ἐρράγη λίθος,
φ. 37ᵇ ‖ ἅπασαν ἀρχὴν μέχρις εἰς χοῦν λεπτύνας,
χρυσῆν, σιδηρᾶν, χαλκίνην, ὀστρακίνην.
Τεράστιος στείρας γάρ, ὡς ὁρᾷς, τόκος
ἐξεικονίσθη τῷ τεχνίτῃ ζωγράφῳ.
Εἴποις ἂν ἰδὼν μὴ γραφὰς τύπων βλέπειν,
αὐτὴν δὲ τὴν τεκοῦσαν, αὐτὴν τὴν κόρην,
την μὲν σιγῶσαν ὥςπερ ἐκβαθμουμένην·
πῶς γαστρὸς αὐτῆς τὰς ἀποσκλήρους πύλας
ἤνοιξε πύλας τῆς ἀεικλύστου τόκος,
τὴν δ' ἐκ βρέφους δεικνῦσαν ὡς ὑπὲρ φύσιν
κόσμον γυναικῶν τὴν σιγὴν οἶδε στέγειν.
Ἀνδρόνικος δὲ Δουκόβλαστος μητρόθεν
σεβαστός, ἐκφὺς Καματηροῦ πατρόθεν
μέγας τε δρουγγάριος εἰς κόσμον φέρει
τοὺς μαργαρίτας, τοὺς λίθους, τὸ χρυσίον,
σέβων τὰ γραπτὰ κατὰ πρωτοτυπίαν.
Σὺ δ' ἀλλὰ μητράνανδρε, κἂν φαίνῃ βρέφος,
εὐχῶν λίθοις σύντριβε τοὺς ἐναντίους
εὔθρυπτον ὥςπερ ὄστρακον κεραμέως.

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

εἰς δ' ἀποθήκας οὐρανῶν τίθει τέλος,
ὡς μαργαρώδη σῖτον ἁγνοῖς πρακτέοις
τῶν ἀχυρωδῶν ἐκτριβέντων πταισμάτων.

92 (φ. 37β). «Ἐπὶ τῷ γεγονότι παρὰ τοῦ ἁγίου ἡμῶν βασιλέως τιμίῳ καὶ ζωοποιῷ σταυρῷ ἐν τῷ κατὰ τοῦ Ἰκονίου ταξειδίῳ».

Ἔχει ὅλον ὧδε·

Ζήλῳ καμίνου καρδίαν μέσην ζέσας
καὶ σπλάγχνα φρυγεὶς θυμικῶν ἐξ ἀνθράκων
ὑπὲρ μερίδος χριστεπωνύμου γένους
ὄρπηξ Μανουὴλ διπλοφυοῦς πορφύρας
Κομνηνοδουκῶν ἐξ ἀνάκτων αὐτάναξ
ἐξῆρε τοὺς σπινθῆρας εἰς πυρσὸν μέγαν.
Οὐ γὰρ τὰ τέκνα τῆς ἐλευθέρας βλέπειν
ἔστεξε τέκνα δοῦλα τῆς δούλης Ἄγαρ.
Οὐκοῦν ἀθροίσας κρατερὰν ὁμαιχμίαν
ἐκ μυριάκις μυρίων στρατευμάτων
πρὸς τὴν κατ' ἐχθρῶν τοῦ θεοῦ σπεύδει μάχην
ἐν τριακοστῷ καὶ τετάρτῳ τῷ χρόνῳ
τῆς αὐτοκρατοῦς Αὐσόνων σκηπτουχίας.
Εἰδὼς δὲ τύπου σταυρικοῦ θείου ξύλου
νίκην λαβόντα τὸν μέγαν Κωνσταντῖνον,
οὗ στέμμα πίστιν ὀρθοδοξίαν φέρει,
τὸν αὐτὸν αὐτὸς χρυσῷ κοσμῶ τύπον,
Χριστοῦ παθῶν σήμαντρα τιθεὶς ἐν μέσῳ
καὶ λειψάνων τμήματα σεπτῶν ἁγίων,
θαρρεῖν ἐπ' αὐτοῖς ἢ στρατοῦ πλήθει κρίνων.
Ναὶ, σταυρὲ ῥάβδε, πλῆττε τοὺς ἐναντίους,
ναὶ, σταυρὲ Χριστοῦ, περσικὰ φῦλα τρέπε,
παρεμβαλὼν δὲ τῷ βασιλεῖ κυκλόθεν
νίκης στεφάνῳ στέψον αὐτοῦ τὸ στέφος.

93 (φ. 37β). «Εἰς ἐνδυτὴν τῆς ἁγίας τραπέζης ἔχουσαν εἰκονισμένην τὴν ἁγίαν τοῦ Χριστοῦ ἀνάστασιν».

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

Ἔχει ὅλον ὧδε·

Χλαμύδα μὲν πρὸς κοκκίνην καὶ πορφύραν
ἐπημφιάσω παικτικῶς ἑκών, λόγε.
Ἐγὼ δὲ Δούκας Καματηρὸς πατρόθεν
σεβαστὸς Ἀνδρόνικος εὐγνώμων λάτρις
μέγας τε δρουγγάριος ἐκ τῆς ἀξίας
ταύτην σέβων τράπεζαν ὥςπερ σὸν τάφον
ἐν χρυσερύθρῳ συγκαλύπτει τῷ πέπλῳ.
Τύπον δὲ τὸν σὸν πορφύρᾳ διαγράφω
πόθῳ τε κόσμον χρυσομάργαρον φέρω.
Σὺ δ' ἔκπλυνόν μου φοινικῆν ἁμαρτίαν
ψυχήν τε χιόνωσον ὑσώπου πλέον
σῆς ἀστραπαῖς[1] χάριτος αὐτὴν λευκάνας,
σωτηρίου δ' ἄμφιον ἐνδύσας γάμου
τῆς σῆς τραπέζης ἄξιον δεῖξον τέλος.

94 (φ. 37β). «Εἰς εἰκόνα τοῦ ἁγίου προφήτου Δανιὴλ ἑστῶτος ἐν μέσῳ τῶν λεόντων καὶ ἀγγέλων τοῦ μὲ ν στέφανον αὐτῷ προςάγοντος, τοῦ δὲ τὸν προφήτην Ἀμβακοὺμ διακονίζοντος ἐπιφερόμενον τὴν τροφὴν τῶν γεωργῶν».

Ἔχει ὅλον ὧδε·

Τίς οὐκ ἂν ἐν λάκκῳ σε, Δανιὴλ, βλέπων
ἔκρινε σαρκὸς χρῶμα, μὴ σάρκα βλέπειν;
Οὐ γὰρ τροφῆς ἔχρηζες, ἀλλ' οὐδ' ἀγρίοις
φ. 38α ‖ ὤφθης τροφὴ λέουσι σωμάτων νόμῳ,
πλὴν ἀλλὰ βρύσιν Ἀμβακοὺμ σοι προφήτης
ἐν ἀέροις ἀγγέλ[ων] μετηρμένος
ἤλεγξε σαρκὸς ἠμφιεσμένον πάχος.
Ἐνταῦθα δὲ βλέφαρον ἐξάρας μόνον
τῆς οὐ κρινεῖ σύσσωμον ἑστῶτα βλέπειν
ὕμνους θεῷ φέροντα χαριστηρίους
χείλους σιγῶντος[2] καὶ λαλούσης καρδίας;

[1] Ἐκ τοῦ τὸ πρῶτον γραφέντος ἀστραπῆς

[2] Ἤρχισε γράφων λα (τἀρχικὰ γράμματα τοῦ ἑπομένου λαλούσας) καὶ διώρθωσεν ἔπειτα εἰς σι

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

Οὕτως ἀπηκρίβωσε τέχνη τὴν φύσιν.
Ὅμως ἐνιδὼν χρωμάτων ἐν συγκράσει [1].
Ὁ μὲν γὰρ ἰδοὺ σὲ στέφων διεγράφη
τῆς καρτερίας τῶν ὑπὲρ νόμου πόνων
οὐδ' ἐκκομίζων τὸν προφήτην ὑψόθεν.
Σὺ δ' ἀλλ' ἄλλως τὴν ⟨τοῦ⟩ θεοῦ δόξαν βλέπων
θραύοις λεόντων τῶν νοουμένων γνάθους,
οὐρανίᾳ βρύσει δὲ καρδίαν τρέφων
ἔργων με λιμοῦ τῶν ἐναρέτων ῥύου.
Σοὶ ταῦτα Δούκας Καματηρὸς πατρόθεν
σεβαστὸς Ἀνδρόνικος ἐκλαλῶ πόθῳ,
μέγας δὲ δρουγγάριος ἐκ τῆς ἀξίας
ὁ καὶ νεουργὸς σοῦ σεβασμίου τύπου.

95 (φ. 38α). «Εἰς εἰκόνα τοῦ ἀρχιστρατήγου Μιχαὴλ κοσμηθεῖσαν παρὰ τοῦ υἱοῦ τοῦ Τριψύχου».
Ἔχει ὅλον ὧδε·

Ὦ πίστεως χεὶρ πάντα τολμῶσα γράφειν
καὶ σὸν γὰρ εἶδος, οὐ φύσις ἀϋλίᾳ,
ἀνθρωπομόρφως, ἀγγελόπρωτε, γράφει·
πλὴν ἐξ Ἰησοῦ ταῦτα μανθάνειν ἔχει,
ὃς εἶδε ῥομφαίαν δὲ πλὴν ἐσπασμένον.
Ἐγὼ δ' ἀΰλοις πίστεώς μου δακτύλοις
εἰς ψυχικὰς γράψας σε μυστικὰς πλάκας
καὶ χρωματουργηθέντα σὸν σέβω τύπον,
κόσμῳ δὲ τοῦτον καλλύνω χρυσαργύρῳ.
Σὺ δ' ἀλλὰ σαῖς πτέρυξι συσκίαζέ με
τὸν οἰκέτην σου Τρίψυχον Κωνσταντῖνον.
Πλὴν οὐ βέλους ῥύου δὲ φευκτῆς ἡμέρας,
πάσαις δὲ τήρει τοῦ βίου με ταῖς τρίβοις,
προσκομμάτων ἁπάντων ἐξαίρων λίθους,
τὴν πυρίνην τέλος δὲ ῥομφαίαν στρέφων
εἰς ἔνδροσόν με τῆς Ἐδὲμ τάξον χλόην.

96 (φ. 38α). «Εἰς εἰκόνα τοῦ ἁγίου Παύλου κοσμηθεῖσαν».

[1] Φαίνεται παραλειφθεὶς ἐνταῦθα στίχος.

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

Ἔχει ὅλον ὧδε·

Ἂν σὺ σεαυτὸν ἀγνοεῖν, Παῦλε, γράφῃς,
πῶς ἡρπάγης σύσσωμος ἢ σαρκὸς δίχα;
Τί καινὸν εἰ καγώ σε νῦν μαθεῖν θέλω,
ἂν χρὴ λέγειν ἔμπνουν σε, μὴ γραπτὸν τύπον;
Τοῖς ζῶσι καὶ γὰρ ἐμφερέστατον βλέπω
Πλὴν, εἰ σιωπᾷς, οὐδέν ἐστι τὸ ξένον·
ἄρρητα καὶ γὰρ ἅπερ ἤκουσας φέρεις.

97 (φ. 38α). «Εἰς εἰκόνα τῶν τριῶν παίδων»

Ἔχει ὅλον ὧδε·

Ἔδει τὸ λεῖπον τῶν ἁπάντων κτισμάτων
θεὸν συνυμνεῖν, εἴπερ ἀψύχοις φύσις
οὕτω πρὸς ἐμφέρειαν ὡς δοκεῖν τάχα
σκιρτᾶν πατοῦντας ἀνθρακένδροσον φλόγα,
ὅμως δὲ σιγᾶν ὥςπερ ἐκπεπληγμένους
τῇ καταβάσει τοῦ φανέντος ἀγγέλου.
Καὶ γοῦν τίς ἂν ἔφριξε Χαλδαῖος βλέπων
τὸ τῆς καμίνου πῦρ ἀναπνέον στόμα
μὴ καὶ τιναχθὲν ἐκφλογήσῃ[1] καὶ πάλιν.
Πλὴν ἀλλ' ἐπιρρέουσα τοῦ χρόνου φύσις
ἴσχυσε μικροῦ τῶν τύπων τὸ φῶς σβέσειν
Φίλτρον φλοξὶ ζέοντος ἀνάπτω πάλιν
σεβαστὸς Ἀνδρόνικος ἐκ Δουκῶν γένους
καὶ Καματηρῶν δ' εὐκλεῶν τὸ πατρόθεν
μέγας τε δρουγγάριος ἐκ τῆς ἀξίας,
ξέω τὸ γῆρας ῥυτίδος τῶν εἰκόνων
παίδων νεάζειν τοὺς χαρακτῆρας θέλειν.
Ὑμεῖς δέ μοι σβέσατε πρεσβειῶν δρόσῳ
πῦρ γεέννης τῆς κολαστρίας φλόγα
σκηνοῦν διδόντες εἰς ἀείδροσον χλόην.

98 (φ. 38β). «Εἰς εἰκόνα τοῦ κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν

[1] Ἐκ τοῦ τὸ πρῶτον γραφέντος ἐκφλογήσῃ

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

Ἰησοῦ Χριστοῦ, κοσμηθεῖσαν παρὰ τῆς ἁγίας ἡμῶν δεσποίνης διὰ χρυσοῦ, μαργάρων καὶ λίθων ».

Ἔχει ὅλον ὧδε·

Δῶρον μὲν οὐδέν, Σῶτερ, εἰςφέρειν ἔχω
ἀντιζυγοστάτημα ταῖς χάριτί σου.
Τί καὶ γὰρ οὐ σόν, ὃς κρατεῖς καὶ τοῦ πνέειν;
Πλὴν εὐχαριστῶ· τοῦτο πιστῆς καρδίας·
πλάττει μὲν καὶ γὰρ εὐκλεῆ πρώτην πλάσιν
τὸ φῶς βλέπειν δοὺς εὐγενοῦς ἐξ ὀσφύος.
Ἀντιόχου γὰρ ῥηγοφυῶν πριγκίπων
ζωοῖς με πάλιν εὐκλεεστέρᾳ πλάσει
ὑπερτερω...έντων δὲ δοξάσας γάμῳ.
Καὶ γὰρ Κομνηνῷ Μανουὴλ με συνδέεις
αὐτοκρατοῦντι διπλοπορφύρῳ κλάδῳ,
οὗ βραχίων ἄστεκτος, οὗ φρικταὶ φρένες,
ὃν βαρβάρων φρίττουσιν αἱ φυλαρχίαι
καὶ μαρτυρεῖ θάλασσα καὶ γῆ κυκλόθεν.
Ὅμως δὲ δεικνύουσα καὶ θερμοῦ πόθου
ψυχὴν νοητῶς ἀνθρακίζουσα φλόγα
ὕλας προςάγω τὰς παρ' ἡμῖν τιμίας
σοῦ τοῦ θεοῦ μου τῷ κατ' ἄνθρωπον τύπῳ.
Ἂν γὰρ σοφίας τοῦ Σολομῶντος χάριν
πόρρωθεν ἦλθε βασίλισσα τοῦ νότου,
πῶς τὴν σοφίαν τοῦ θεοῦ, σὲ τὸν λόγον
ἐγγὺς παρόντα σαρκικῶς κεκτημένη,
ἣν αὐτὸς αὐτάνασσα Αὐσόνων ἔθου,
καὶ τὸ πλέον βλέπουσα τοῦ Σολομῶντος
οὐκ ἐκχέω νῦν πρὸς σέ μου τὴν καρδίαν;
Τὸ χρυσίον γοῦν, τοὺς λίθους, τοὺς μαργάρους,
εἰ καὶ σὰ δῶρα, νῦν ἐμὰ κρίνων δέχου,
βασιλέως δὲ τὸ στέφος τῆς συζύγου
λάμπρυνε νίκαις κατὰ γῆν μὲν καὶ πάλιν,
ταῖς δ' ἐν θαλάσσαις συμμάχει ναυμαχίαις,
ἐχθροὺς παριστῶν ὠχριῶντας τῷ τρόμῳ,
βίου δὲ μακροὺς προςμετρήσας ἡλίους,

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΦΙΛΟΣΟΦΙΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ἀμφοῖν μένειν δὸς εἰς ἀείζωον χλόην.

99 (φ. 38β). «Εἰς εἰκόνα τοῦ ἁγίου μεγαλομάρτυρος Γεωργίου ἀνακαινισθεῖσαν παρὰ τοῦ Μιχαὴλ τοῦ Τατικίου».

Ἔχει ὅλον ὧδε·

Τροχοῦ μὲν οὐκ ἴσχυσεν ἀγρότου τάσις
ὀστῶν μέχρι θραύουσα σιδήρων βίαις
τὸν χρύσεον Χριστοῦ σε συντρέψαι στάχυν·
τῆς πίστεως κόκκος γὰρ ἐξήνθει πλέον.
στροφὴ τροχοῦ χρόνου δὲ τοῦ κυκλοδρόμου
πᾶν εἰς φθορὰν ἄγουσα τῆς φθορᾶς ῥύμῃ
ἴσχυσε τὸν σὸν ἐξαμαυρῶσαι τύπον.
Ἐγὼ δ' ἐπ' αὐτῶν καρδίας τῶν αὐλάκων
βαλὼν πόθου σοῦ μυστικόν, μάρτυς, σπόρον
καὶ πίστεως σχὼν στάχυν[1] ἐρριζωμένον
ἀνάλογόν σοι τοῦ σπόρου καρπὸν φέρω
Κομνηνοφυῶν Μιχαὴλ δένδρων κλάδος
καὶ Τατικίων εὐκλεῶν τὸ πατρόθεν
τὸν πρὶν μαρασμὸν σῆς θέας ἀναξέων,
ἄνθος δὲ διδοὺς καὶ νέου κάλλους ἔαρ.
Σὺ δ' ἀλλ' ἀθλητῶν ἐντρύφημα καὶ κλέος,
Γεώργιε, ζῶν ἐν θεῷ τρυφῆς μέσον,
εἰ καὶ θερισθεὶς δημίων ὤφθης ξίφει,
δέχου τὸ δῶρον τὸ πρόθυμον συμμέλει
καὶ σῶν χαρίτων ἐμπιπλῶν σε μὴ λίποις
νῦν μὲν χρόνων ἄγοντα τῆς ἥβης ἔαρ
δεικνὺς βίου θάλλοντα ταῖς εὐπραγίαις
καὶ τοῦτο τηρῶν ἄχρι λευκὸς ὁ στάχυς.
Ἐπεὶ δὲ καιρὸς συγκομιδῆς πρακτέων,
τοῦ κοσμικοῦ φθάσαντος ἀφύκτως θέρους,
ἀχυρμιὰς μὲν πταισμάτων σκεδαννύων
πνοαῖς προσευχῶν τοῖς κακοῖς ἀντιπνόων,
φ. 39α || εἰς δ' ἀποθήκας οὐρανῶν ἀειχλόους

[1] Ἡ λέξις στάχυν κατὰ διόρθωσιν ἄλλης τὸ πρῶτον γραφείσης, νῦν δ' ἀδιαγνώστου.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠΙΚ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ὡς σῖτον ἔνδον ἐν... ἠγνοημένον
τροφὴν με, Χριστὲ, τῆς τραπέζης ἀξίαν
αἰτῶ σε ταῦτα πίστεως θείοις νόμοις.
Αὕτη μοι γοῦν σοῦ προστατοῦντος σωζέτω.

100 (φ. 39α). «Εἰς τὴν εἰκόνα τῆς ἁγίας Ἄννης τ..........της λεγομένης».

Ἔχει ὅλον ὧδε·

Τίκτειν μὲν ἐκρίθησαν ἐν λύπαις τέκνα
γυναῖκες Εὔας δυςπαθοῦς ..........,
σὺ δ' Ἄννα Χριστοῦ μητρομῆτορ κοσμία
χαίρουσα τίκτεις τῆς ..........
Ὡς τὸν τόκον γοῦν εἶχες ἐξηλλαγμένον
καὶ μετρίων ἂν ᾐσθάνου τῶν ὠ[δίν]ων·
πάντως γὰρ ἂν καὶ τούτου προδραμεῖν ἔδει
φρικτοῦ. . . . . . . . . . . . . . . .
Αἰτῶ σε τοίνυν, πριγκίπων παῖς Μαρία,
Ῥώμης νέας ἄνασσα, ῥηγῶν ἐκγόνη
κουφισμὸν εὑρεῖν τῆς βίας τῶν ὠδίνων,
ὥρας καλούσης ἐκτεκεῖν ἐν πορφύρᾳ
καὶ κοινοχαρμόσυνον ἐκβρύειν τόκον
ἄνακτι δέξαι Μανουὴλ τῷ συζύγῳ.

101 (φ. 39α). Ἀνεπίγραφα δημοτικὰ εἰς Μανουὴλ τὸν Κομνηνὸν ἐπὶ τῇ Χριστοῦ ἀναστάσει.

Ἔχουσιν ὅλα ὧδε·

Πρῶτον προςφώνημα Χριστοῦ νεκρῶν ἐξαναστάντος
ταῖς μαθητρίαις Χαίρετε, τοῖς μαθηταῖς Εἰρήνην.
Καὶ νῦν αὐτάναξ Μανουὴλ Χριστὸς χειρὸς Κυρίου
ἔγερσιν τούτου τὴν φρικτὴν λαμπρῶς πανηγυρίζων
χαρὰν εὐαγγελίζεται καὶ σταθηρὰν εἰρήνην,
πᾶν ἔθνος θεὶς ὑπόσπονδον καὶ δοῦλον Ῥώμης νέας.

Στολῇ λευκῇ μὲν ἤστραπτε, τοὺς βλέποντας ἐθάμβει
ὁ κῆρυξ τῆς ἐγέρσεως ἐκείνης νεανίσκος.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Ε.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

Ὁ τῆς εἰρήνης δ᾽ ἄγγελος Ῥωμαίων αὐτοκράτωρ
Χριστοῦ τὴν ἐξανάστασιν ἐν δόξῃ θριαμ[βεύ]ει
ἀστράπτων καὶ λευκότητι στολῆς καταμαργάρου,
ἀλλὰ καὶ νίκην τὴν λευκὴν πάντο[τε]...βελ(;)..σας.

Εἰ καὶ τὸ πρὶν οἱ βασιλεῖς μετὰ καὶ τῶν ἀρχόντων
συνήχθησαν κατὰ Χριστοῦ .. [ῦ]ντες, ἐκκεντοῦντες,
ἀλλ᾽ ἀναστάντα σήμερον χαρ[οποι]ῶς δο[ξάζ]ει
αὐτάναξ μέγας Μανουήλ, πᾶς ἄρχων, σύμπας δῆμος.
σταυροῦ τὸν τύπον ἀνιστῶν σύμβολον νίκης νέ[ας]
καὶ τῆς εἰρήνης σύνδεσμον γῆς τῶν μερῶν τετράτης.

Χριστὸς ὁ πάντων βασιλεὺς ἐλευθερίαν γράφων
τοῖς ἐξ Ἀδὰμ δουλεύουσι τῆς ἁμαρτίας νόμῳ
χεῖρας καὶ πόδας αἵματι καὶ τὴν πλευρὰν ἐβάφη,
χεῖρας δ᾽ ἐχθρῶν ἐν αἵματι καὶ πόδας ἐρυθράνας
τῷ θεωνύμῳ βασιλεῖ καὶ τοὺς βαρβ[άρους τρέψας]
ὑμνεῖ τῶν νῦν ἐξαναστὰς ἐξ εὐχαρίστου γνώμης.

Τὸν λίθον μὲν ἐκύλησεν ἄγγελος πρὶν τοῦ τάφου
δεικνὺς ὀθόνας σώματος κενὰς ἐσμυρνισμένας,
λίθον δὲ νῦν ὁ βασιλεὺς ἐξαγαγὼν ἐξ [ἔ]ω,
ἐν ᾧ τῶν ἥλων ἐκ[σπασ]θεὶς Χριστὸς κατεσμυρνίσθη
προάγγελος ἐγέρσεως γεγένηται τῆς τούτου
καὶ νῦν αὐτὸς βασιλικῶς ὁδ[εύων] μεγαλύνει.

Χθὲς μὲν τοῦ ξύλου καθελὼν ἐβάστασεν ἐπ᾽ ὤμων
τὸν ζωοδότην Ἰωσὴφ καὶ συνειλεῖ σινδόνι,
λίθον δὲ χθὲς ὁ βασιλεὺς ἄρας ἐπὶ τῶν ὤμων
..... κατεσπαργάνωτο δεσμοῖς τοῖς ἀναξίοις.
Νῦν προοδεύει τοῦ σταυροῦ τὸν τύπον ἀνεγείρων
καὶ τὴν ἀνάστασιν Χριστοῦ βασιλικῶς δοξάζων.

Ἐσείσθησαν τῷ φόβῳ σου πᾶσαι φυλαὶ βαρβάρων,
πάντας αὐτῶν τοὺς φύλακας ... νεκροὺς εἰργάσω,

Ε.Υ.Δ. ΠΣΚ τ.Π ΙΩΑΝΝΙΝΑ 2006